## *Monday, February 4*: Isa 10:30-34

30 ἡ θυγάτηρ Γαλείμ, ἐπακούσεται ἐν Σά, ἐπακούσεται ἐν Ἀναθώθ· 31 ἐξέστη
Μαδεβηνὰ καὶ οἱ κατοικοῦντες Γιββείρ. 32 παρακαλεῖτε σήμερον ἐν τῇ ὁδῷ τοῦ
μεῖναι, τῇ χειρὶ παρακαλεῖτε τὸ ὄρος τὴν θυγατέρα Σιών, καὶ οἱ βουνοὶ οἱ ἐν
Ἰερουσαλήμ. 33 ἰδοὺ γὰρ ὁ δεσπότης Κύριος σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους
μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ ταπεινωθήσονται οἱ
ὑψηλοί, 34 <καὶ πεσοῦνται ὑψηλοὶ> μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς
πεσεῖται.

## *Tuesday, February 5*: Isa 11:1-5

**11** 1 Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης
ἀναβήσεται. 2 καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ
συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· 3 ἐμπλήσει
αὐτὸν πνεῦμα φόβου θεοῦ. οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν
ἐλέγξει, 4 ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ
πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ
ἀσεβῆ· 5 καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ
εἰλημμένος τὰς πλευράς.

## *Wednesday, February 6*: Isa 11:6-11

6 καὶ συν βοσκηθήσεται λύκος μετὰ ἀρός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ,
καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει
αὐτούς· 7 καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν
βοσκηθήσονται, καὶ λεὼν καὶ βοῦς ἅμα φάγονται ἄχυρα· 8 καὶ παιδίον νήπιον ἐπὶ
τρώγλην ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ. 9 καὶ οὐ μὴ
κακοποιήσωσιν, οὐδ' οὐ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου,
ὅτι ἐνεπλήσθη ἡ σύμπασα τοὺ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι
θαλάσσας. 10 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος
ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. 11 Καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ
ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ἀπὸ τῶν
Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου καὶ Βαβυλωνίας καὶ Αἰθιοπίας καὶ ἀπὸ Αἰλαμιτῶν
καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβείας.

## *Thursday, February 7*: Isa 11:12-16

12 καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραήλ, καὶ τοὺς
διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. 13 καὶ
ἀφαιρεθήσεται ὁ <ζῆλος> Ἐφράιμ, καὶ οἱ ἐχθροὶ Ἰοὺδα ἀπολοῦνται· Ἐφράιμ οὐ
ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει Ἐφράιμ. 14 καὶ πετασθήσονται ἐν πλοίοις
ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύσουσιν καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ
Ἰδουμαίαν, καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Ἀμμὼν

πρῶτοι ὑπακούσονται. [15] καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ
ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ
φάραγγας ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασιν· [16] καὶ ἔσται ὁδὸς τῷ
καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ, καὶ ἔσται τῷ Ἰσραὴλ ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν
ἐκ γῆς Αἰγύπτου.

## ***Friday, February 8*: Isa 12 (1-6)**

**12** [1] Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ
ἀπέστρεψας τὸν θυμόν σου καὶ ἠλέησάς με. [2] ἰδοὺ ὁ θεός μου σωτήρ μου,
πεποιθὼς ἔσομαι ἐν αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς
μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. [3] καὶ ἀντλήσετε ὕδωρ μετ᾽ εὐφροσύνης
ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. [4] καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ὑμνεῖτε Κύριον,
βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε
ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. [5] ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν·
ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. [6] ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες
ἐν Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ σου.